# TEZAUR LITURGIC

**22 AUGUST**

**NIKODIMOS AERAKIS**

# SLUJBA SF.MUCENIȚE EULALIA DE LA BARCELONA

**ATENA,2010**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 22 ΑΥΓΟΥΣΤΟΣ

# ΕΥΛΑΛΙΑ ΜΑΡΤΥΣ ΒΑΡΚΕΛΩΝΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Ἀρχιμανδρίτου Νικοδήμου Ἀεράκη**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὴν Εὐλαλίαν ἐνθέως πιστοὶ τιμήσωμεν, τῆς παρθενίας ἄνθος, Βαρκελώνης προστάτιν, κλέος Ἱσπανίας ἐν διωγμοῖς, πρωτομάρτυρα ἔνδοξον, τὴν ἐστεμμένην ἐν δόξῃ παρὰ Χριστοῦ, τὴν ἀνδρείως ἐναθλήσασαν.

Τὴν Εὐλαλίαν ἐν ὕμνοις ἐγκωμιάσωμεν, τὴν πρώτην τῶν Μαρτύρων, τῆς κλεινῆς Βαρκελώνης, δόξαν τῆς ἁγνείας καὶ ἀρετῆς, παρθενίας τὸ κλέϊσμα, καὶ τῆς νεότητος πρότυπον ἀληθές, τῆς ἀγάπης πρὸς τὸν Κύριον.

Τῆς Εὐλαλίας τὸν βίον ἐπευφημήσωμεν, ἐν ᾠδαῖς ἐγκωμίων, καὶ ἐν ὕμνοις ἐνθέοις, αὕτη γὰρ παιδίσκη οὖσα θερμῶς, τὸν Χριστὸν ὡμολόγησε, καὶ αἰκισμοὺς ὑποστᾶσα ὑπὲρ Αὐτοῦ, ἐν Σιὼν ἀεὶ ἀγάλλεται.

Δεῦτε φιλόθεοι ὕμνοις ἐγκωμιάσωμεν, τοῦ Χριστοῦ θεῖον θῦμα, παρθενίας τὸ κλέος, δόξαν τῶν Μαρτύρων καὶ ἀπαρχήν, Βαρκελώνης τὸ καύχημα, καὶ

Ἐκκλησίας ἁπάσης τὴν ἀρωγόν, Ἱσπανίας ἐγκαλλώπισμα.

*Δόξα. Ἦχος β΄.*

Τὴν τὸν Χριστὸν μανικῶς ἀγαπήσασαν, καὶ δι᾽ Αὐτὸν τὰ πάντα προθύμως θύσασαν, ἐν ἐγκωμίων ᾠδαῖς, φιλομαρτύρων ὁ σύλλογος, τὴν ἁγνὴν νεάνιδα καὶ καλλίνικον Μάρτυρα, Εὐλαλίαν ἀνευφημήσωμεν. Αὕτη γὰρ ὡς ἐθελόθυτον θῦμα, ἐν παῤῥησίᾳ τὸν Θεάνθρωπον ὁμολογήσασα καὶ ὑπὲρ Αὐτοῦ μαρτυρήσασα, πολλοὺς εἰδωλολάτρας εἰς Χριστὸν ὡδήγησε καὶ τοὺς πιστοὺς μεγάλως ἐστήριξεν. Αὐτῆς ταῖς ἱκεσίαις, σῶσον Κύριε τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα, ἡ δι' ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δεῦτε πανευλαβῶς, ἐνθέως Εὐλαλίαν, τὴν ἔνδοξον παρθένον, καὶ Μάρτυρα Κυρίου, τιμήσωμεν ἐν ᾄσμασιν.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χάριτι τοῦ Χριστοῦ, ἡ Μάρτυς Εὐλαλία, προσῆλθε μαρτυρῆσαι, ὑπὲρ τοῦ Θεανθρώπου, ὡς θῦμα εὐωδέστατον.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Κύριον καὶ Θεόν, ἱκέτευε παρθένε, ὑπὲρ τῶν σὲ τιμώντων, καὶ ὕμνοις εὐφημούντων, τὸ θεῖόν σου μαρτύριον.

*Δόξα. Τριαδικόν.*

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι Ἁγίῳ, Τριὰς καὶ μοναρχία, περίσωζε τοὺς πόθῳ, τιμῶντάς Σε ὡς Κύριον.

*Καὶ νῦν. Θεοτοκίον.*

Πάναγνε Μαριάμ, τοὺς Σὴν σεπτὴν ἐκ τάφου, Μετάστασιν τιμῶντας, ἐκ πλάνης καὶ κινδύνων, περίσκεπε καὶ φύλαττε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.*

Τὴν εὐλάλως τὸν Λόγον Θεὸν κηρύξασαν, πανευλαβῆ Εὐλαλίαν τῆς Βαρκελώνης σεπτόν, ἐγκαλλώπισμα πιστοὶ ἀνευφημήσωμεν, ὅτι ἐνήθλησε στεῤῥῶς, καὶ ἐμαρτύρησε σεπτῶς, ὡς σφάγιον ὑπὲρ Λόγου, καὶ εἰσῆλθε κατεστεμμένη, εἰς τὴν παστάδα τοῦ Νυμφίου Χριστοῦ.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε.

Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ΄ τῆς ἑορτῆς καὶ γ΄ τῆς Ἁγίας. Τῆς ἑορτῆς. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Ὅτε, ὁ δι’ ἡμᾶς καθ’ ἡμᾶς, ἐκ τῶν πανάγνων σου αἱμάτων γενόμενος, ἐκ κόσμου σὲ μετεστῆσαι, καὶ πρὸς αὐτὸν ὡς ἁγνήν, προσλαβέσθαι ξένως ἐπευδόκησεν, αὐτοῦ ἀπεσύναξε, τοὺς ἰδίους κηδεῦσαί σε, διὰ νεφέλης, ὁπαδοὺς τούτου νεύματι, παραστήσας σοι, εἰς τιμὴν τῆς ἐξόδου σου, οἵ τινες θεασάμενοι, τῆς χάριτος ἔμπλεοι, γεγενημένοι Παρθένε, σὲ ἱερῶς προσεκύνησαν, πιστῶς ἐκβοῶντες· Χαῖρε κόσμῳ ἡ τεκοῦσα, τὸ μέγα ἔλεος.

Πόθεν, τὸ ἐπιγνῶναι ὑμᾶς, τὴν ἐκ τοῦ σώματός μου ἔξοδον; ἔφησεν ἡ πάναγνος Θεοτόκος τοῖς ἱεροῖς Μαθηταῖς, τί τὸ ξένον τοῦτο τέκνα θέαμα; Οἱ δὲ ἄφνω ἔφησαν, ἐν νεφέλαις ἐπήρθημεν, καὶ καθὼς βλέπεις, τῇ σκηνῇ σου ἐπέστημεν, προσκυνῆσαί σε, ὥσπερ θρόνον πυρίμορφον, βλέψαι τε σοῦ τὴν ἔνδοξον, καὶ θείαν Μετάστασιν, καὶ ταῖς παλάμαις κηδεῦσαι, τὸ

θεοδόχον σου σκήνωμα, σκηνὴ Παναγία, δι᾽ ἧς εὕρατο ὁ κόσμος, τὸ μέγα ἔλεος.

σήν, οἱ Μαθηταὶ τοῦ Λυτρωτοῦ καὶ προπέμποντες, πρὸς τάφον φύσεως νόμῳ, σὲ Παναγία ἁγνή, ἐξοδίους ὕμνους προσεφώνουν σοι· σεμνὴ χαῖρε λέγοντες, τοῦ Θεοῦ τὸ παλάτιον, χαῖρε ἑτοίμη, τῶν ἀνθρώπων βοήθεια, χαῖρε ὄχημα, καθαρὸν τῆς Θεότητος, ἄπιθι καὶ μετάβαινε, πρὸς ὄρη αἰώνια, σκήνωμα δόξης πρὸς θεῖα, νῦν κατασκήνου σκηνώματα, πιστοῖς αἰτουμένη, τὴν ἀνέκλειπτον εἰρήνην, καὶ μέγα ἔλεος.

*Καὶ γ΄ τῆς Ἁγίας. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Εὐλαλίαν τιμήσωμεν, παρθενίας ὀσφράδιον, καὶ Μαρτύρων πάνσεπτον ἀκροθίνιον, ὁμολογίας ὑπόδειγμα, θυσίας τὸ πρότυπον, Βαρκελώνης τὴν στεῤῥάν, πολιοῦχον καὶ φύλακα, καὶ προπύργιον, τῆς νεότητος κλέος καὶ ἁγνείας, καὶ ἁπάσης Ἐκκλησίας, πρὸς τὸν Χριστὸν θείαν πρέσβειραν.

Εὐλαλίαν τὴν Μάρτυρα, τὴν ἁγνὴν καὶ φιλόθεον, συνελθόντες σήμερον εὐφημήσωμεν, ὅτι Χριστὸν ἀγαπήσασα, τοῦ κόσμου ἀπέῤῥιψεν, ἀπολαύσεις καὶ τρυφάς, καὶ ζωὴν αὐτῆς ἔθυσεν, Τούτου χάριτι, Ὃν ὡς Μάρτυς νεᾶνις ἠξιώθη, κατιδεῖν ἐν Παραδείσῳ, καὶ σὺν Ἁγίοις δοξάζεσθαι.

Ἀσεβῶν ἐταπείνωσας, ἀθεΐας τὸ φρόνημα, καὶ εἰδώλων ἔδειξας τὴν ἀσθένειαν, τῶν αἰκισμῶν δὲ ἠλόγησας, ζωῆς καὶ νεότητος, καὶ ἐδέξω ἐκ Θεοῦ, τὸν

τῆς νίκης σου στέφανον, Ὃν ἱκέτευε, Εὐλαλία ἐκ πλάνης λυτρωθῆναι, τοὺς ἐν πόλει Βαρκελώνης, ἐπιτελοῦντας τὴν μνήμην σου.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, νεανίδων καὶ Μαρτύρων χοροί, ἐπὶ τῇ πανευκλεεῖ μνήμῃ τῆς καλλινίκου Εὐλαλίας, συνευφραίνονται καὶ συμπανηγυρίζουσι. Δεῦτε οὖν καὶ ἡμεῖς συνεορτασταί, ἐνθέοις ὕμνοις τὴν τῆς Βαρκελώνης προστάτιν ἐγκωμιάσωμεν χαρμονικῶς, βοῶντες πρὸς αὐτήν· Χαίροις, τῆς ἁγνείας τὸ εὐῶδες ἄνθος, καὶ τῆς ὁμολογίας τὸ σεπτὸν ἐγκαλλώπισμα· χαίροις, τῆς θεϊκῆς ἀγάπης τὸ ἐγκώμιον, καὶ τὸ μέχρις αἰκισμῶν, καὶ μαρτυρίου θυσίας ὑπὲρ Χριστοῦ ὑπόδειγμα· χαίροις, τῆς Ἱσπανίας τὸ καύχημα, καὶ τῶν πιστῶν τὸ στήριγμα. Πρέσβευε πρὸς τὸν Κύριον ἐκτενῶς, ἐκ Θεοῦ ἐστεμμένη Εὐλαλία, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Τῇ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους, αἰθερίους διήρπαζον, καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριήλ, μελῳδοῦντες ἀνεβόων· Χαῖρε κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ. Μεθ' ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, λα',λα΄.10.-20, 25)*

Γυναῖκα ἀνδρείαν τὶς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε  πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ

δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ἑορτὴν χαρμόσυνον, ἡ τοῦ Χριστοῦ πρωτομάρτυς τῆς Ἱσπανίας Εὐλαλία ἡμῖν ἐδωρήσατο, τοῖς προσελθοῦσι φαιδρῶς, τὴν πανίερον αὐτῆς μνήμην ἐγκωμιάσαι. Δεῦτε οὖν ἐνθεαστικῶς, ἐμμελετῶντες τὴν ἐθελούσιον μαρτυρικὴν ὁμολογίαν, καὶ πανθαύμαστον μαρτυρικὴν αὐτῆς τελευτήν, ὕμνοις καὶ ᾠδαῖς ἐπευφημήσωμεν λέγοντες· ὦ νεάνις Εὐλαλία, τῆς Ἀειπαρθένου τοῦ Υἱοῦ ἐρασθεῖσα, καὶ ὑπὲρ Αὐτοῦ ἑκουσίως τυθεῖσα, χαῖρε ἐν τοῖς οὐρανίοις δώμασι σαββατίζουσα, καὶ σκέπε λιταῖς σου τοὺς Ὀρθοδόξους, καὶ τὴν πόλιν σου ἐκ πάσης πλάνης καὶ περιστάσεως.

*Ἦχος β΄.*

Δεῦτε φιλομάρτυρες, ἐπὶ τῇ ἑορτῇ τῆς παιδομάρτυρος Εὐλαλίας, πνευματικῶς εὐωχηθῶμεν, καὶ ἐν ἐγκωμίων ᾠδαῖς αὐτὴν τιμήσωμεν λέγοντες· Χαῖρε, νεανίδων τὸ κλέος, παρθένων ὁ τύπος, καὶ Μαρτύρων τὸ ἐγκαλλώπισμα· χαῖρε, τοῦ πρωτομάρτυρος Στεφάνου σύσκηνε, καὶ τῶν δυσσεβῶν διωκτῶν τῆς πίστεως ἀντίπαλε· χαῖρε, ἡ τῆς ὁμολογίας ἀπλανὴς ὁδηγός, καὶ τῆς εὐσεβείας μέγας διδάσκαλος. Χριστῷ τῷ Θεῷ ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν ἐν Ἱσπανίᾳ Ὀρθοδόξων, καὶ πάντων τῶν τιμώντων τὴν πανίερον μνήμην σου.

*Ἦχος γ΄.*

Τὴν καλλίνικον Μάρτυρα Εὐλαλίαν, χαρμονικῶς πιστοὶ εὐφημήσωμεν. Αὕτη γὰρ τὸ παρθενικὸν καὶ

εὐῶδες ἄνθος τῆς νεότητος, ὁλοψύχως τῷ Θεανθρώπῳ προσήνεγκε, καὶ παῤῥησίᾳ Αὐτὸν ὡς Λυτρωτὴν καὶ Δεσπότην, τοῖς ἀσεβέσιν ἐκήρυξεν, ὅθεν δεινῶς αἰκισθεῖσα, καὶ πολλὰς βασάνους ἀκλινῶς ὑπομείνασα, ἐν σταυρῷ τῷ ἐρασμίῳ αὐτῆς Νυμφίῳ τὴν ὁλόφωτον αὐτῆς ψυχὴν παρέδωκεν. Νῦν δὲ ἐν οὐρανίοις θαλάμοις αἰωνίως σαββατίζουσα, πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος δ΄.*

Μέγα καὶ παράδοξον θαῦμα σήμερον πιστοὶ καθορῶντες, τὸν ἀθλοθέτην Χριστὸν δοξάσωμεν. Ἡ ἁγνὴ νεᾶνις καὶ παρθένος, ἡ πολιοῦχος καὶ τὸ τῆς Βαρκελώνης καύχημα, πανένδοξος Εὐλαλία, λαθοῦσα τῶν γονέων αὐτῆς, ὡς ἡ τριετίζουσα δάμαλις, πρὸς τὸν Νυμφίον Χριστὸν ἔδραμεν Αὐτῷ λέγουσα· Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, ἵνα μετὰ Σοῦ αἰωνίως συναγάλλωμαι καὶ συνδοξάζωμαι. Αὐτῆς πρεσβείαις Κύριε, δώρησαι τῷ λαῷ Σου εἰρήνην, ἀγάπην, πίστιν ἀληθῆ καὶ τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε χριστοφόροι λαοί, θαῦμα ἐν Ἱσπανίᾳ τελούμενον, ἐμμελετήσωμεν καὶ λαμπρῶς κηρύξωμεν. Νεᾶνις ἁγνὴ ἐν Βαρκελώνῃ βλαστήσασα, ὡς ὁ δωδεκαετὴς Ἰησοῦς, τοῖς ἐν σκότει καὶ ἀνοίᾳ τελοῦσιν, αὐτοκλήτως καὶ θεοφωτίστως, τὰ τῆς Παναγίας Τριάδος μεγαλεῖα ἐκήρυξεν. Οὕτω αὐτοὺς ταπεινώσασα, καὶ τὴν εἰδωλικὴν πλάνην εὐτελίσασα, ἐν πολλοῖς αἰκισμοῖς καὶ τῇ μαρτυρικῇ τελευτῇ αὐτῆς

τούτους κατενίκησε καὶ τὸν ἀληθῆ Θεὸν ἐμεγάλυνε. Διὸ αὐτῇ ἐκβοήσωμεν· σῶσον πρεσβείαις σου καὶ ἡμᾶς τοὺς ὀρθοδόξως Χριστῷ λατρεύοντας, καὶ φύλαξον τὴν πόλιν σου ἄτρωτον, ἐκ πλάνης καὶ ἐπηρείας δαιμόνων.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Ἄσατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς, παρατίθησιν, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁμολογίας κανών, τῆς παρθενίας τὸ εὐῶδες κειμήλιον, ἁγνότητος Εὐλαλία, καὶ μαρτυρίας ἀστήρ, Βαρκελώνης Μάρτυς πρώτη ἔνδοξε, Χριστὸν γὰρ ἠγάπησας, καὶ θερμῶς ὡμολόγησας, σεπτῶς τυθεῖσα, ὥσπερ σφάγιον ἔντιμον, ἐκνικήσασα, τὴν δειλίαν νεότητος, ὅθεν εἰς τὰ οὐράνια, εἰσέδυς σκηνώματα, νύμφη Χριστοῦ Θεοῦ Λόγου, καὶ σῷ Νυμφίῳ νενύμφευσαι, Ὃν καθικετεύεις, ὑπὲρ πάντων τῶν τελούντων, τὴν σὴν πανήγυριν.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, τῆς Βαρκελώνης λιμήν, καὶ πολιοῦχος καὶ σεπτὸν ἐγκαλλώπισμα, καὶ πρότυπον Εὐλαλία, ὁμολογίας Χριστοῦ, ἀπαρχὴ Μαρτύρων καὶ ὑπόδειγμα, πιστῶν καταφύγιον, καὶ ἁγνείας τὸ ἄγαλμα, ὁμολογούντων, θεοδώρητον στήριγμα, τῆς

θυσίας δέ, φωτεινὸν ἀκροθίνιον, ὅθεν τὴν σὴν σεβάσμιον, τελοῦντες πανήγυριν, χάριν τὴν σὴν ἐκζητοῦμεν, καὶ σὰς πρεσβείας πρὸς Κύριον, τοῦ σῶσαι ἐκ πλάνων, Ὀρθοδόξου Ἱσπανίας, τοὺς ἀνυμνοῦντάς σε.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, ἁγνὴ νεᾶνις Χριστοῦ, τῆς Βαρκελώνης πολιοῦχος ἐξάκουστος, παρθένων καὶ νεανίδων, ἡ ἀσφαλὴ ὁδηγός, τῶν Μαρτύρων δόξα καὶ προπύργιον, πιστῶν ἀγαλλίαμα, θείου ἔρωτος πρότυπον, τῆς ἀρετῆς δέ, ἀσφαλὲς ἐνδιαίτημα, καὶ τῆς πίστεως, πρὸς Χριστὸν μέγα ἕδρασμα, ὅθεν ἐνθέοις ᾄσμασι, καὶ λόγοις πανένδοξε, βίον τὸν σὸν ἐπαινοῦμεν, καὶ τὰς λιτάς σου πρὸς Κύριον, αἰτούμεθα Μάρτυς, ἵνα λάβωμεν πλουσίως, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. β΄.*

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, ἔφη ὁ προφητάναξ Δαβίδ, καὶ τὸν αὐτοῦ λόγον, ἡ παιδομάρτυς Εὐλαλία ἐπεσφράγισε. Δωδεκαετὴς οὖσα, ἐν μέσῳ ἀσεβούντων, ἐν τῇ Βαρκελώνῃ Χριστοῦ ἐρασθεῖσα, ὡς ἰσάγγελος ἐπολιτεύθη, καὶ θαυμαστῶς καὶ ὑπὲρ λόγον ἐναθλήσασα, ὡς σφάγιον πανίερον ἑαυτὴν τῷ Κυρίῳ χαίρουσα ἔθυσεν, ὅθεν καὶ ἡμεῖς, ἐν τῇ μνήμῃ αὐτῆς, τὸν ἀθλοθέτην Χριστὸν δοξάσωμεν, καθικετεύοντες Αὐτόν, ὅπως λιταῖς τῆς Μάρτυρος Εὐλαλίας, δι’

ἐναρέτου πολιτείας, Αὐτὸν τοῖς πέρασιν θαυμαστώσωμεν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Τῇ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους, αἰθερίους διήρπαζον, καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριήλ, μελῳδοῦντες ἀνεβόων· Χαῖρε κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ. Μεθ' ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.*

Τὴν εὐλάλως τὸν Λόγον Θεὸν κηρύξασαν, πανευλαβῆ Εὐλαλίαν τῆς Βαρκελώνης σεπτόν, ἐγκαλλώπισμα πιστοὶ ἀνευφημήσωμεν, ὅτι ἐνήθλησε στεῤῥῶς, καὶ ἐμαρτύρησε σεπτῶς, ὡς σφάγιον ὑπὲρ Λόγου, καὶ εἰσῆλθε κατεστεμμένη, εἰς τὴν παστάδα τοῦ Νυμφίου Χριστοῦ.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὴν ὑπερθαύμαστον, ὁμολογίαν σου, καὶ τὴν ὑπέρλογον, ἁγνὴ θυσίαν σου, καταπλαγέντες οἱ πιστοί, ἐβόων σοι Εὐλαλία· χαῖρε τῆς ἁγνότητος, θεοτίμητον ἄγαλμα, χαῖρε τῆς σεμνότητος, καὶ θυσίας ὑπόδειγμα, κλεινῆς δὲ Βαρκελώνης προστάτης, χαῖρε ἡ ταύτη πρωτομάρτυς.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Εἰς τὰ οὐράνια, ἡ νοερά Σου ψυχή, εἰς τὸν Παράδεισον, ἡ καθαρά Σου σκηνή, μετατεθεῖσα ἐκ φθορᾶς, ἀγάλλεται Παναγία, ὅθεν ἀνταπέδωκε, τοῖς ἀνόμοις ὁ Κύριος, δόλον γὰρ εἰργάσαντο, τῷ τιμίῳ λειψάνῳ Σου, διὸ σὺν Ἀποστόλοις βοῶμεν· χαῖρε ἡ Κεχαριτωμένη.

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τὴν νύμφην τοῦ Χριστοῦ, Εὐλαλίαν τιμῶμεν, και ὕμνοις καὶ ᾠδαῖς, ἐν χαρᾷ εὐφημοῦμεν, ὡς Μάρτυρα τῆς πίστεως, καὶ νεάνιδα πάναγνον, τὴν νικήσασαν, τῶν ἀσεβούντων τὴν πλάνην, καὶ στηρίξασαν, τῆς ἀληθείας τὴν πίστιν, δυνάμει τοῦ Πνεύματος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά Σου τὸ ἄχραντον, Θεοτόκε πανύμνητε, οἷς

συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν Μετάστασιν, τὴν Σὴν σεπτῶς εὐφημοῦντες, ἣν πίστει ἑορτάζομεν.

*Μετὰ τὸν Πολυέλεον,*
*κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγησαν χοροί, τῶν πρωτοτόκων Ἀθλητῶν, καθορῶντες ἐπὶ γῆς, τὴν Εὐλαλίαν τὴν ἁγνήν, ἐν νεότητι στέργουσαν τὰ τοῦ Λόγου, πίστιν ἀληθῆ καὶ ἁγνότητα, πλῆθος αἰκισμῶν, καὶ μαρτύριον, καὶ οὐρανίων ἔφεσιν καὶ πόθον, ζωῆς Ἁγίων καὶ ἄνεσιν, ἐν Βασιλείᾳ, τοῦ Θεανθρώπου, ἣν δωρεῖται τοῖς Μάρτυσιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐν χερσὶ τοῦ δι᾿ ἡμᾶς, ἐνανθρωπήσαντος ἐκ Σοῦ, παραθεμένην τὴν ψυχήν, ὡς πλαστουργός Σου καὶ Θεός, πρὸς τὴν ζωὴν τὴν ἀκήρατον μετέστησεν, ὅθεν Σε σεπτῶς μακαρίζομεν, τὴν μόνην καθαρὰν καὶ ἀμόλυντον, καὶ Θεοτόκον ἅπαντες κυρίως, ὁμολογοῦντες κραυγάζομεν· Χριστὸν δυσώπει, πρὸς Ὃν μετέστης, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Οἱ ἀναβαθμοί, τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον μαρτυρικόν.

Ὁ Ν΄ ψαλμός.
Δόξα: *Ταῖς τῆς Ἀθληφόρου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Σήμερον, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, εἰς πανήγυριν πνευματικὴν ἡμᾶς συνεκαλέσατο. Τὴν παιδομάρτυρα Εὐλαλίαν, τὸ τῆς ἁγνείας κλέος, καὶ τῆς ὁμολογίας τὸ πρότυπον, πρὸς ψυχικὴν οἰκοδομὴν τοῖς ὀρθοδόξοις χαρμοσύνως προβάλλεται, ὅθεν ᾄσμασι αὐτὴν τιμήσωμεν, καὶ ἐγκωμίοις μεγαλύνωμεν λέγοντες· Χαῖρε, πρωτομάρτυς τῆς Ἱσπανίας, καὶ τῆς Βαρκελώνης προστάτις· χαῖρε, Μάρτυς ἐν γῇ, καὶ νύμφη Χριστοῦ ἐν οὐρανοῖς· χαῖρε, πάντων τῶν ὀρθοδόξων φύλαξ καὶ πρέσβειρα.

Εἶτα οἱ Κανόνες.

Ὁ πρῶτος κανὼν τῆς ἑορτῆς, οὗ ἡ Ἀκροστιχίς: *Πανηγυριζέτωσαν οἱ θεόφρονες.* Ποίημα τοῦ Κυρίου Κοσμᾶ.

*ᾨδὴ α΄ Ἦχος α΄ Ὁ Εἱρμός*

*Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων τῷ σῷ, ᾄδοντας Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται.*

Ἀμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμά σου, ἄφνω δὲ συῤῥεύσασα, τῶν

Ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἄρδην, μεθ' ὧν ἄχραντε, σοῦ τὴν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

Νικητικὰ μὲν βραβεῖα ἤρω, κατὰ τῆς φύσεως Ἁγνή, Θεὸν κυήσασα, ὅμως μιμουμένη δέ, τὸν ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν ὑποκύπτεις, τοῖς τῆς φύσεως νόμοις· διὸ θνῄσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα.

Καὶ τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς: *Εὐλαλία εὖχος, Βαρκελώνης ἔφυ. Νικοδήμου.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ἐλθὲ θεῖον Πνεῦμα ἐν τῷ νοΐ, ἐμοῦ τοῦ ἀθλίου ἐγχειροῦντος ὑμνολογεῖν, ἁγνότητος ἄνθος Εὐλαλίαν, τῆς Βαρκελώνης τὴν πρώτην ἐν Μάρτυσιν.

Ὑψῶ τὴν καρδία πρὸς σὲ ἁγνή, κλέος Βαρκελώνης καὶ αἰτοῦμαι τὰς πρὸς Θεόν, θερμὰς ἱκεσίας Εὐλαλία, τοῦ ἀνυμνῆσαι ἀξίως σὴν ἄθλησιν.

Λαλεῖς Εὐλαλία πανευλαβῶς, κηρύττουσα Λόγον ὡς Δεσπότην και Ποιητήν, ἐν μέσῳ ἀθέων καὶ ἀπίστων, οὖσα νεᾶνις ἀβρὰ καὶ ἀδύναμος.

*Θεοτοκίον.*

Αἰτοῦμαι πρεσβείας Σου πρὸς Χριστόν, ἁγνὴ Θεοτόκε, ὡς κυήσασα ἐν γαστρί, Θεὸν τῶν ἁπάντων Ὃν δυσώπει, ὑπὲρ τῶν πίστει τιμώντων Σε ἄχραντε.

*ᾨδὴ γ' Ὁ Εἱρμός*

*Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.*

Γυναῖκά σε θνητήν, ἀλλ' ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες Πανάμωμε, οἱ κλεινοὶ Ἀπόστολοι, πεφρικυίαις ἥπτοντο χερσί, δόξῃ ἀπαστράπτουσαν, ὡς θεοδόχον σκῆνος θεώμενοι.

Ὑπέφθασε χερσί, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα, τοῦ Θεοῦ φυλάξαντος, τὸ σέβας τῇ ἐμψύχῳ κιβωτῷ, δόξῃ τῆς Θεότητος, ἐν ᾗ ὁ Λόγος σάρξ ἐχρημάτισε.

*Τῆς Ἁγίας. Οὐρανίας ἁψῖδος.*

Λυτρωτὴν Εὐλαλίαν τὸν Ἰησοῦν ἔδειξας, τοῖς ἐν ἀσεβείᾳ τελοῦσι λόγοις καὶ ἔργοις σου, καὶ μαρτυρίῳ ἁγνή, ὃ ἐκ καρδίας ἐπόθεις, καὶ σπουδῇ ἐζήτησας, χαίρουσα ἔνδοξε.

Ἰσχυρῶς ἀντετάξω εἰδωλικοῖς φθέγμασι, Μάρτυς Εὐλαλία σὴν πίστιν πρὸς τὸν Θεάνθρωπον, καὶ ὡς Δαβὶδ Γολιάθ, σοὺς δικαστὰς ἐταπείνους, αἰκισμοὺς καὶ μάστιγας, καθυπομένουσα.

Ἀρετὴν παρθενίας καὶ τὸν Χριστὸν ἔνδοξε, ζήλῳ Εὐλαλία ποθοῦσα πάντα ἐπίκηρα, ἀπαρνηθεῖσα ἐν γῇ, τῶν οὐρανίων ἐγεύσω, καὶ ζωὴν αἰώνιον, ἐκληρονόμησας.

*Θεοτοκίον.*

Εὐλογίαν τῷ κόσμῳ Λόγον Θεοῦ τέξασα, πρέσβευε Αὐτῷ Θεοτόκε ὑπὲρ τῶν δούλων Σου, ὅπως ῥυσθῶμεν ἁγνή, ἐκ τῶν τοῦ κόσμου σκανδάλων, ἀνυμνοῦντες Δέσποινα, τὰ μεγαλεῖά Σου.

*Κοντάκιον. Ἦχος πλ. β΄. Αὐτόμελον*

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Πιστοὶ εὐφημήσωμεν ἐν ἐγκωμίων ᾠδαῖς, καὶ ᾄσμασι μέλψωμεν τὴν ἐν ἁγνείᾳ ζωήν, καὶ θεῖον μαρτύριον, ἅπαντες Εὐλαλίας, κλέους τῆς Βαρκελώνης, πρώτης ἐν μαρτυρίῳ, φρυκτωροῦ πολιούχου, παρθένου τῆς Ἐκκλησίας, ὄντως θεόφρονος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐν τῇ Γεννήσει Σου, σύλληψις ἄσπορος, ἐν τῇ Κοιμήσει Σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε, πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; Πῶς δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα; Διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν Σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

*ᾨδὴ δ' Ὁ Εἱρμός*

*Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρθένου σου Χριστέ, φέγγος ἀστραπῆς σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι, καὶ φωνεῖ σοι ἄβυσσος, ἐν ἀγαλλιάσει, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.*

Ἴδετε λαοὶ καὶ θαυμάσατε· τὸ ὄρος γὰρ τὸ ἅγιον, καὶ ἐμφανέστατον Θεοῦ, τῶν ἐπουρανίων βουνῶν, ἐφύπερθεν αἴρεται, οὐρανὸς ἐπίγειος, ἐν ἐπουρανίῳ, καὶ ἀφθάρτῳ χθονὶ οἰκιζόμενος.

Ζωῆς ἀϊδίου καὶ κρείττονος, ὁ θάνατός σου γέγονε, διαβατήριον Ἁγνή, ἐκ τῆς ἐπικήρου πρὸς θείαν ὄντως καὶ ἄῤῥευστον, μεθιστῶν σε ἄχραντε, ἐν ἀγαλλιάσει, τὸν Υἱὸν καθορᾶν σου καὶ Κύριον.

Ἐπήρθησαν πύλαι οὐράνιαι, καὶ Ἄγγελοι ἀνύμνησαν, καὶ ὑπεδέξατο Χριστός, τὸ τῆς παρθενίας αὐτοῦ, μητρῷον κειμήλιον. Χερουβὶμ ὑπεῖξέ σοι, ἐν ἀγαλλιάσει, Σεραφὶμ δὲ δοξάζει σε χαίροντα.

*Τοῦ Ἁγίου. Εἰσακήκοα Κύριε.*

Ὑψιπέτις ἀνῆλθες, εἰς τὴν Βασιλείαν τὴν ἐπουράνιον, Εὐλαλία καὶ ἠξίωσαι, ἀθανάτου δόξης θεοτίμητε.

Χριστὸν Λόγον ἠγάπησας, καὶ τὴν σὴν νεότητα Αὐτῷ τέθυκας, ὑπομείνασα μαρτύριον, Εὐλαλία χαίρουσα ἐν Πνεύματι.

Οἰκητήριον γέγονας, Εὐλαλία ὄντως τῆς θείας χάριτος, διὸ στέρξασα μαρτύριον, σαββατίζεις κόρη θείοις δώμασιν.

*Θεοτοκίον.*

Σαῖς λιταῖς Θεοδόξαστε, χάριν τοῦ Υἱοῦ Σου ἡμῖν κατάπεμψον, ἵνα πάντες ἀποφύγωμεν, τοῦ δολίου δράκοντος τὰ ἔνεδρα.

*ᾨδὴ ε' Ὁ Εἱρμός*

*Τὸ θεῖον καὶ ἄῤῥητον κάλλος, τῶν ἀρετῶν σου Χριστὲ διηγήσομαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμψας ἀπαύγασμα, παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας ἥλιος.*

Ὡς ἐπὶ νεφέλης Παρθένε, τῶν Ἀποστόλων ὁ δῆμος ὀχούμενος, πρὸς τὴν Σιὼν ἐκ περάτων λειτουργῆσαί σοι, τῇ νεφέλῃ τῇ κούφῃ ἠθροίζετο, ἀφ' ἧς ὁ Ὕψιστος Θεός, τοῖς ἐν σκότει καὶ σκιᾷ, δικαιοσύνης ἔλαμψεν ἥλιος.

Σαλπίγγων θεόληπτοι γλῶσσαι, τῶν θεολόγων ἀνδρῶν εὐηχέστερον, τῇ Θεοτόκῳ ἐβόων τὸν ἐξόδιον, ἐνηχούμεναι ὕμνον τῷ Πνεύματι. Χαίροις ἀκήρατε πηγή, τῆς τοῦ Θεοῦ ζωαρχικῆς, καὶ σωτηρίου πάντων σαρκώσεως.

*Τοῦ Ἁγίου. Φώτισον ἡμᾶς.*

Βίον ἀρετῆς, Εὐλαλία καὶ ἁγνότητος, καὶ τῶν Μαρτύρων τέλος ἐπιποθεῖς, τῆς Βαρκελώνης, φρουρὸς γεγονυῖα ἄγρυπνος.

Ἄναξ Ἰησοῦς, Εὐλαλία σε ἐνίσχυσε, καταξιῶν σε Κόρη ὁμολογεῖν, Τριάδος κράτος, σωτήριον καὶ φιλάνθρωπον.

Ῥῶσιν ψυχικήν, Εὐλαλία ταῖς πρεσβείαις σου, πρὸς Χριστὸν Φιλάνθρωπον Λυτρωτήν, καὶ τὴν εἰρήνην, παράσχου ἐμοὶ τῷ τάλανι.

*Θεοτοκίον.*

Κόρη ὑπουργεῖς, ἐν ἀγκάλαις Σου βαστάζουσα, καὶ γαλουχοῦσα Χριστὸν ὑπερφυῶς, τῇ σωτηρίᾳ, τοῦ κόσμου Θεοχαρίτωτε.

*ᾨδὴ ς' Ὁ Εἱρμός*

*Ἄλιον ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς σου ἦν προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται· σεσωσμένος γὰρ ὡς καὶ προὒπέπωτο, ἀσινὴς ἐβόα· Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.*

Νέμει σοι τὰ ὑπὲρ φύσιν, Ἄναξ ὁ πάντων Θεός· ἐν γὰρ τῷ τίκτειν, Παρθένον ὥσπερ ἐφύλαξεν, οὕτως ἐν τάφῳ τὸ σῶμα διετήρησεν, ἀδιάφθορον, καὶ συνεδόξασε, θείᾳ μεταστάσει, γέρα σοι ὥσπερ Υἱὸς Μητρὶ χαριζόμενος.

Ὄντως σε ὡς φαεινὴν λυχνίαν, ἀΰλου πυρός, θυμιατήριον θείου χρύσεον ἄνθρακος, ἐν τοῖς Ἁγίων

Ἁγίοις κατεσκήνωσε, στάμνον ῥάβδον τε πλάκα θεόγραφον, κιβωτόν ἁγίαν, τράπεζαν ἄρτου ζωῆς, Παρθένε ὁ τόκος σου.

*Τοῦ Ἁγίου. Τὴν δέησιν.*

Ἐδόξασας, τὸν Χριστὸν πανεύφημε, Εὐλαλία ἐθελόθυτον θῦμα, διὸ ζωῆς, τῆς ἀγήρω καὶ θείας, ἐπαπολαύεις ἀεὶ σαββατίζουσα, πρεσβεύουσα πρὸς τὸν Θεόν, τοῦ ῥυσθῆναι ἡμᾶς τῆς κολάσεως.

Λατρεύουσα, εὐσεβῶς Παντάνακτι, Εὐλαλία πρὸς μαρτύριον τρέχεις, καὶ εὐθαρσῶς, ἀσεβέσι κηρύττεις, τὴν ἐξ ἀγάπης Χριστοῦ ἐνανθρώπησιν, καὶ λύτρωσιν ἐκ τῶν δεσμῶν, ἁμαρτίας θανάτου καὶ δράκοντος.

Ὡράϊσον, τὴν ψυχήν μου ἔνδοξε, ταῖς λιταῖς σου πρὸς Θεὸν Εὐλαλία, καὶ τὴν χαρὰν τῆς εἰρήνης παράσχου, καὶ τὴν ἐλπίδα Θεοῦ τὴν σωτήριον, καὶ πόθον τοῦ σαββατισμοῦ, καὶ ζωὴν Παραδείσου τὴν ἄληκτον.

*Θεοτοκίον.*

Νυμφίον Σου, ἐν γαστρὶ ἐκύησας, ὑπὲρ φύσιν τε καὶ λόγον Παρθένε, καὶ ἐν χερσί, τὸν Θεὸν ἠγκαλίσω, καὶ ἐκ μαζῶν Σου σεπτῶς ἐγαλούχησας, διὸ ὡς Μήτηρ τοῦ Θεοῦ, ὑπὲρ πάντων Αὐτὸν καθικέτευε.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Ποθοῦσα ἁγνή, μαρτύριον προσέδραμες, ἐν ζήλῳ Θεοῦ, καὶ Λόγον ἀνεκήρυξας, ὡς Θεὸν καὶ Κύριον,

Εὐλαλία πλάνους νικήσασα, ὅθεν σε ἁγνὴ ὁ Χριστός, ἐν παστάδι ἠξίωσεν, αἰωνίως οἰκεῖν.

*Ὁ Οἶκος.*

Οἱ ἐν Βαρκελώνῃ ὀρθοδόξως τῷ Χριστῷ λατρεύοντες, τὴν ἁγιότροπον βιοτὴν τῆς παιδομάρτυρος Εὐλαλίας, σὺν πάσῃ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ πανευφροσύνως γεραίρουσι καὶ ἑορτίως τιμῶσιν. Αὕτη γὰρ ἡ τὴν ἁγνείαν ὡς κόρην ὀφθαλμοῦ φυλάξασα, καὶ γνησίως καὶ μανικῶς τοῦ Χριστοῦ ἐρασθεῖσα, τὴν τῶν Μαρτύρων ὁμολογίαν, μαρτυρίαν καὶ τελευτὴν ἐζήλωσεν, ὅθεν ἐθελουσίως καὶ αὐτοκλήτως τὴν τῶν εἰδώλων πλάνην ἐλέγξασα, καὶ πολλοὺς τῶν ἀσεβῶν πιστοὺς καὶ Μάρτυρας ἀναδείξασα, τοῦ ποθουμένου ἔτυχε, μαρτυρικῶς τὸν βίον τελειώσασα, ὅθεν ὡς ἁγνὴν καὶ Μάρτυρα ὁ Χριστός, ἐν παστάδι ἠξίωσεν, αἰωνίως οἰκεῖν.

*Συναξάριον*

Τῇ ΚΒ᾽ τοῦ αὐτοῦ Μηνός, Μνήμη τῆς Ἁγίας Μάρτυρος Εὐλαλίας, τῆς ἐν Βαρκελώνῃ τῆς Ἱσπανίας.

*Σταυροῦ φέρεις στίγματα, ὦ Εὐλαλία,*
*ἔσω δὲ Σιών, ᾄσματα τῷ Κυρίῳ.*

*ᾨδὴ ζ' Ὁ Εἱρμός*

*Ἰταμῷ θυμῷ τε καὶ πυρί, θεῖος ἔρως ἀντιταττόμενος, τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ, τῇ τῶν ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος,*

*μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός, ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.*

Θεοτεύκτους πλάκας Μωϋσῆς, γεγραμμένας τῷ θείῳ Πνεύματι, ἐν θυμῷ συνέτριψεν, ἀλλ' ὁ τούτου Δεσπότης, τὴν τεκοῦσαν ἀσινῆ, τοῖς οὐρανίοις φυλάξας δόμοις, νῦν εἰσῳκίσατο. Σὺν αὐτῇ σκιρτῶντες βοῶμεν Χριστῷ· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν κυμβάλοις χείλεσιν ἁγνοῖς, μουσικῇ τε καρδίας φόρμιγγι, ἐν εὐήχῳ σάλπιγγι, ὑψηλῆς διανοίας, τῆς Παρθένου καὶ ἁγνῆς, ἐν τῇ εὐσήμῳ κλητῇ ἡμέρᾳ τῆς Μεταστάσεως, πρακτικαῖς κροτοῦντες βοῶμεν χερσίν· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ο θεόφρων ἤθροισται λαός· τῆς γὰρ δόξης Θεοῦ τὸ σκήνωμα, ἐν Σιὼν μεθίσταται πρὸς οὐράνιον δόμον, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφράστου ἀγαλλιάσεως, καὶ ἐν εὐφροσύνῃ βοώντων Χριστῷ· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Τῆς Ἁγίας. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἡ Μάρτυς Εὐλαλία σαββατίζει ἐν δόξῃ ἐν Βασιλείᾳ Θεοῦ, στεφθεῖσα ἐπαξίως, ἐν μέσῳ τῶν Μαρτύρων, μεθ’ ὧν ψάλλει πρὸς Κύριον· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σὺ σκέπεις Εὐλαλία τοὺς πόθῳ προσκυνοῦντας ἐν Βαρκελώνῃ σεπτῶς, τὸ λείψανόν σου κόρη, καὶ πίστει

ὀρθοδόξῳ, ἀνυμνοῦντας τὸν Κύριον· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν μέσῳ ἀσεβούντων Εὐλαλία ἡ Μάρτυς ὁμολογίᾳ τρανῇ, τὴν πίστιν τῆς Τριάδος, κηρύττει καὶ διδάσκει, εὐφροσύνως κραυγάζουσα· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Φωτὶ ἡ Εὐλαλία τοῦ Παρακλήτου αὐγάζει, τὰς διανοίας πιστῶν, καὶ πάντας προσκαλεῖται, τὸ ὄνομα τὸ θεῖον, ἀνυμνεῖν μετὰ πίστεως· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ὑπάρχεις Μήτηρ Λόγου ἔμψυχος ναός τε καὶ φωτοφόρος σκηνή, ἱκέτευε Παρθένε, ὑπὲρ τῶν Σὲ ὑμνούντων, καὶ φαιδρῶς συμψαλλόντων Σοι· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η' Ὁ Εἱρμός*

*Φλόγα δροσίζουσαν Ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεοῦ ὁ πανσθενής, ἔδειξε Παισί· ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι, τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.*

Ῥήμασιν εἴχοντο τῆς θείας, κιβωτοῦ τοῦ ἁγιάσματος, πᾶσα ἡ πληθὺς τῶν θεολόγων ἐν τῇ Σιών. Ποῦ νῦν ἀπαίρεις σκηνὴ κραυγάζοντες, Θεοῦ τοῦ ζῶντος; Μὴ διαλίπῃς ἐποπτεύουσα, τοὺς πίστει

μέλποντας· τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὅπως ὑψώσασα τὰς χεῖρας, ἐκδημοῦσα ἡ πανάμωμος, χεῖρας τὰς Θεὸν ἠγκαλισμένας, σωματικῶς ἐν παῤῥησίᾳ, ὡς Μήτηρ ἔφησε πρὸς τὸν τεχθέντα, οὓς μοι ἐκτήσω, εἰς αἰῶνας φύλαττε βοῶντάς σοι· τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*Τῆς Ἁγίας. Τὸν Βασιλέα.*

Νενυμφευμένη, ἡ Εὐλαλία τὸν Λόγον, παρθενίας τὸ ἄνθος φυλάττει, τὸν Χριστὸν ὑμνοῦσα, εἰς πάντας τοὺς αἰῶνας.

Ἰσχὺν λαβοῦσα, ἡ Εὐλαλία Κυρίου, μαρτυρεῖ ὑπὲρ Τούτου καὶ ψάλλει, τὸν Χριστὸν ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Κυριαρχίαν, ὁμολογοῦσα Τριάδος, Εὐλαλία ἀεὶ σαββατίζει, ἀνυμνολογοῦσα, Αὐτὴν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ὁμολογοῦμεν, ὡς οὐρανῶν πλατυτέραν, τὴν Παρθένον καὶ Λόγον Μητέρα, καὶ δοξολογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

*ᾨδὴ θ'.*

*Μεγαλυνάριον, ὅπερ στιχολογεῖται ἐν ἑκάστῳ τροπαρίῳ τῆς παρούσης ᾨδῆς.*

*Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.*

*Ὁ Εἱρμός*

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου.

Ἐξίσταντο Ἀγγέλων αἱ δυνάμεις, ἐν τῇ Σιὼν σκοπούμεναι, τὸν οἰκεῖον Δεσπότην, γυναικείαν ψυχὴν χειριζόμενον· τῇ γὰρ ἀχράντως τεκούσῃ, υἱοπρεπῶς προσεφώνει· Δεῦρο Σεμνή, τῷ Υἱῷ καὶ Θεῷ συνδοξάσθητι.

Συνέστειλε χορὸς τῶν Ἀποστόλων, τὸ θεοδόχον Σῶμά σου, μετὰ δέους ὁρῶντες, καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι· Εἰς οὐρανίους θαλάμους, πρὸς τὸν Υἱὸν ἐκφοιτῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

*Τῆς Ἁγίας. Κυρίως Θεοτόκον.*

Δεσπότην Θεοῦ Λόγον, Σὲ ὁμολογοῦσα, ἡ ἀθληφόρος νεᾶνις Χριστὲ εὐθαρσῶς, καταξιοῦται εἰσδῦναι, εἰς ἐπουράνια.

Ἡδέως τὰ τοῦ κόσμου, Εὐλαλία ἠρνήθη, τῆς τε νεότητος ἄνθος καὶ πάντα τερπνά, ἵνα ἐν δώμασι θείοις, χαίρῃ σὺν Μάρτυσιν.

Μετάδος μοι τὸν ζῆλον, τῆς ὁμολογίας, καὶ παῤῥησίας ἐνθέου καὶ χάριν Θεοῦ, σαῖς ἱκεσίαις πρὸς Λόγον, Μάρτυς πανένδοξε.

Ὁμότροπον Μαρτύρων, σὲ ὁμολογοῦμεν, καὶ μιμητὴν Εὐλαλία παρθένων σεμνῶν, καὶ Ἀθλητῶν πρωτοτόκων, πιστὸν ἀντίτυπον.

*Θεοτοκίον.*

Ὑμνήσωμεν Μαρίαν, Λόγου τὴν Μητέρα, καὶ τῶν πιστῶν προστασίαν καὶ σκέπην σεπτήν, τῶν Ἀσωμάτων τὴν δόξαν, καὶ τὸ ἐντρύφημα.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἁγνὴν Μεγαλομάρτυρα, ἐνθέως εὐφημήσωμεν, ζῆλον γὰρ ἔχουσα θεῖον, φθαρτῶν ἠλόγησε πάντων, Κύριον τὸν Θεάνθρωπον, θαυμαστῶς ὁμολόγησε, πίστιν δὲ τὴν ἀμώμητον, τυθεῖσα ἐθελουσίως, ἐστήριξεν Εὐλαλία.

*Θεοτοκίον.*

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα, καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

*Αἶνοι. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Πάντες εὐφημήσωμεν, τὴν Εὐλαλίαν ἐν ὕμνοις, Βαρκελώνης κόσμημα, Ἱσπανίας πάνσεπτον ἐγκαλλώπισμα, ἐν χαρᾷ ἔθυσεν, ἑαυτὴν ἐνθέως, καὶ ἠρνήθη τὰ ἐπίκηρα, χαρὰν νεότητος, καὶ τὴν ματαιότητα ἅπασαν, στηρίζουσα ἐν αἵματι, τοὺς ἐν

ἀληθείᾳ πιστεύοντας, ὄντως ἀνεδείχθη, ἀντίτυπον μαρτύριον τοῦ Χριστοῦ, καὶ τῆς ἁγνείας κειμήλιον, ἡ θεομακάριστος. *(Δίς)*

Ἄσμασι τιμήσωμεν, τῆς Εὐλαλίας τὴν μνήμην, καὶ πανηγυρίσωμεν, φιλεόρτων σύλλογος εὐφραινόμενοι, ἀρετῆς γέγονε, καὶ θυσίας τύπος, μαρτυρίας ἐγκαλλώπισμα, ἁγνείας πρότυπον, καὶ ὁμολογίας ἀγλάϊσμα, Μαρτύρων ὑποτύπωσις, καὶ τῶν ἀσεβούντων ταπείνωσις, ὅθεν ὁ Νυμφίος, κατέστεψε παστάδι οὐρανοῦ, σαββατισμὸν δωρησάμενος, καὶ ζωὴν αἰώνιον.

Πνεύματι ἐνίκησας, τοὺς αἰκισμοὺς Εὐλαλία, δυσσεβῶν ὠμότητα, ἀπειλὰς μαρτύριον καὶ τὸν θάνατον, τοῖς πιστοῖς ἔδειξας, τοῦ Θεοῦ τὴν χάριν, καὶ Τριάδος τὴν ἐνέργειαν, ἐν βίῳ πάνσεμνε, καὶ ἐν φοβερῷ μαρτυρίῳ σου, τοῖς πᾶσι δὲ ἐκήρυξας, τὴν εἰδωλικὴν ματαιότητα, ὅθεν ἐπαξίως, εἰσῆλθες εἰς μονὴν τοῦ οὐρανοῦ, εὐφραινομένη σὺν Μάρτυσιν, αἰωνίως ἔνδοξε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὸ τῆς ἁγνείας θεῖον ἄγαλμα, καὶ τῆς ὁμολογίας τὸ σεπτὸν ἐγκαλλώπισμα, Εὐλαλίαν τὴν παιδομάρτυρα, ἐν ᾠδαῖς ἐγκωμιάσωμεν. Αὕτη γὰρ τὴν αἰώνιον ζωὴν ποθοῦσα, καὶ τὸν τῆς ψυχῆς Νυμφίον Χριστόν, μανικῶς ἀγαπήσασα, τὸ τῆς νεότητος ἄνθος, καὶ τὰ τοῦ κόσμου τερπνὰ ὡς ἐπίκηρα, εἰς οὐδὲν ἐλογίσατο. Ὅθεν δυνάμει τοῦ Παρακλήτου Πνεύματος, τὸ τοῦ θήλεος καὶ τὸ τῆς νεότητος ἀσθενὲς ὑπερκεράσασα,

ἔσπευσεν ὡς ἐθελόθυτον θῦμα ὁμολογῆσαι Χριστὸν τὸν Θεόν, καὶ ὑπὲρ Αὐτοῦ τὴν ἑαυτῆς ψυχὴν προθύμως θεῖναι. Καὶ νῦν ὡς καλλίνικος Μάρτυς χαίρει ἐν οὐρανοῖς, πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος α΄.*

Ἔπρεπε τοῖς αὐτόπταις τοῦ Λόγου καὶ ὑπηρέταις, καὶ τῆς κατὰ σάρκα Μητρὸς αὐτοῦ, την Κοίμησιν ἐποπτεῦσαι, τελευταῖον οὖσαν ἐπ' αὐτὴ μυστήριον, ἵνα μὴ μόνον τὴν ἀπὸ γῆς τοῦ Σωτῆρος ἀνάβασιν θεάσωνται, ἀλλὰ καὶ τῆς Τεκούσης αὐτὸν τῇ μεταθέσει μαρτυρήσωσι. Διόπερ πάντοθεν, θείᾳ δυνάμει περαιωθέντες, τὴν Σιὼν κατελάμβανον, καὶ πρὸς οὐρανὸν ἐπειγομένην, προέπεμπον τὴν ἀνωτέραν τῶν Χερουβίμ, ἣν καὶ ἡμεῖς, σὺν αὐτοῖς προσκυνοῦμεν, ὡς πρεσβεύουσαν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Ἁγνείας τιμήσωμεν εὐλαβῶς, θεῖον ἐκμαγεῖον, Εὐλαλίαν τὴν θαυμαστήν, τὴν ἐθελουσίως, τυθεῖσαν ὑπὲρ Λόγου, καὶ πίστιν ὀρθοδόξων ἐπιστηρίξασαν.

